# ΚΥΡΙΑΚΗ Α′ ΝΗΣΤΕΙΩΝ

## Μνήμη τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν Εἰκόνων



*Ἱερὰ Εἰκὼν ἐκ τοῦ Ἁγιογραφείου τῆς Ἱ. Μ. Ἁγίας Σκέπης τῆς Θεοτόκου, Κνιάζεβο, Σόφια Βουλγαρίας (τέλος Κ΄ αἰ.).*

**Ἀπολυτίκιον.** Ἦχος β΄.

Τὴν ἄχραντον Εἰκόνα Σου προσκυνοῦμεν, Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνεθλεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν Σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

**Κοντάκιον.** Ἦχος πλ. δ΄. Αὐτόμελον.

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρός, ἐκ Σοῦ Θεοτόκε περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν. Ἀλλ᾽ ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

**Στίχοι.**

Τὰς οὐ πρεπόντως ἐξορίστους Εἰκόνας.
Χαίρω, πρεπόντως προσκυνουμένας βλέπων.

## Τῇ πρώτῃ Κυριακῇ τῶν Νηστειῶν

*(Ἑβρ. ια΄ 24-26, 32-40· Ἰωάν. α΄ 44-52)*

**Ἀνάμνησιν** ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν Εἰκόνων.

Ἑκατὸν ἔτη καὶ ἐπέκεινα κατετάραξε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ὁ διωγμὸς τῶν κακοδόξων εἰκονομάχων, ὧν πρῶτος ὑπῆρξεν ὁ αὐτοκράτωρ Λέων ὁ Ἴσαυρος, ἔσχατος δὲ ὁ Θεόφιλος, ὁ ἀνὴρ τῆς ἁγίας Θεοδώρας, ἥτις μετὰ τὸν θάνατον αὐτοῦ, ἐστερέωσε πάλιν τὴν Ὀρθοδοξίαν μετὰ Μεθοδίου τοῦ Πατριάρχου.

Αὕτη ἡ ἀείμνηστος Βασιλὶς ἐκβοήσασα παῤῥησίᾳ τὰ ἅγια ταῦτα λόγια· *Εἴ τις τὰς ἁγίας εἰκόνας οὐ προσκυνεῖ καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς θεούς, ἀλλ᾽ ὡς εἰκόνας ἀρχετύπων διὰ τὸν πόθον, εἴη ἀνάθεμα,* εἶτα ἐζήτησε παρὰ Θεοῦ τοῦ ἀνδρὸς τὴν συγχώρησιν διὰ κοινῆς νηστείας καὶ δεήσεως καθ᾽ ὅλην τὴν πρώτην ἑβδο-

μάδα τῆς Τεσσαρακοστῆς· καὶ μετὰ ταῦτα, κατὰ τὴν παροῦσαν Κυριακήν, λιτανεύσαντες καὶ αὕτη καὶ ὁ υἱὸς αὐτῆς Μιχαὴλ ὁ Αὐτοκράτωρ, μετὰ παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, ἀνεστήλωσαν τὰς ἁγίας Εἰκόνας καὶ ἐστόλισαν πάλιν δι᾿ αὐτῶν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

Τοῦ ἁγίου τούτου ἔργου τὴν ἀνάμνησιν ἑορτάζομεν σήμερον οἱ Ὀρθόδοξοι πάντες καὶ δι᾿ αὐτὸ τοῦτο τὴν λαμπρὰν καὶ σεβασμίαν ταύτην ἡμέραν ὀνομάζομεν Κυριακὴν τῆς Ὀρθοδοξίας.

❖